Οσίες Ξανθίππη και Πολυξένη

Επισκεφτείτε τον ιστοχώρο μας στην διεύθυνση: http://www.saint.gr/2333/saint.aspx για περισσότερες πληροφορίες για τον βίο (ονόματα, βίντεο, ακολουθίες, φωτογραφίες κτλ) καθώς και για τυχών ενημερώσεις - διορθώσεις.

Τελευταία ενημέρωση βιογραφίας: 20/9/2014 12:35:00 πμ
Δημιουργία εγγράφου: 13/09/2026 08:40:10

Σύνοψη

Τύπος εορτής: Εορτάζει στις 23 Σεπτεμβρίου εκάστου έτους.

Ημ/νια Βίου: 20/9/2014 12:35:00 πμ

Βιογραφία

Τάς συγγόνους Ξανθίππην καὶ Πολυξένην,
Χοροὶ συνοίκους λαμβάνουσιν Ἀγγέλων.

Ἀξίως εἰλήφατε θεόθεν γέρα,
ὁμαίμονες, Ξανθίππη καὶ Πολυξένη.

Οι Οσίες Ξανθίππη και Πολυξένη ήταν Ισπανίδες αδελφές και έζησαν στα μέσα του πρώτου αιώνα μετά Χριστόν, όταν Καίσαρ ήταν ο Κλαύδιος ο Α’ (41-54 μ.Χ.).

Η Ξανθίππη μαζί με το σύζυγο της Πρόβο, άρχοντος της χώρας, διδάχτηκε τη χριστιανική θρησκεία, και ήλθε σ' αυτή, από τον απόστολο Παύλο (βλ. Ρωμ. ιε', 28).

Η Πολυξένη ήταν παρθένος, προτού δε λάβη το άγιο βάπτισμα, είχε αρπαγή από κάποιον άνδρα ασελγή, αλλά η χάρις του Θεού την προστάτευσε και δεν του επέτρεψε να την διαφθείρη. Μεταβαίνοντας από τόπου εις τόπον άκουσε το κήρυγμα του αποστόλου Πέτρου και κατόπιν το κήρυγμα του αποστόλου Φιλίππου στην Ελλάδα. Τέλος, έγινε μαθήτρια του αποστόλου Ανδρέα, ο οποίος την έβάπτισε. Επανερχόμενη στην πατρίδα της, παρέλαβε μαζί της τον απόστολο Ονήσιμο και την συνοδοιπόρο των ταξιδιών της Ρεβέκκα, μαζί μέ την οποία είχε βαπτισθή.

Και οι δύο αδελφές, εργάστηκαν για τη χριστιανική πίστη και οδήγησαν σ' αυτή πολλές γυναίκες. Πέθαναν και οι δύο ειρηνικά σε προχωρημένη ηλικία, χωρίς να πάψουν μέχρι και την τελευταία τους πνοή να στηρίζουν τις ασθενικές ψυχές στη χριστιανική ελπίδα.

Λειτουργικά κείμενα

Ἀπολυτίκιον

Ἦχος γ'. Θείας πίστεως.

Θείας πίστεως, τὸ φῶς δεχθεῖσα, ἔργοις ἔλαμψας, τῆς εὐσεβείας, Πολυξένη Ὁσία θεόληπτε· καὶ ἐν τῷ βίῳ Χριστὸν ἐμεγάλυνας, σὺν τῇ συγχρόνῳ ἀμέμπτοις σου πράξεσι· μεθ' ἧς πρέσβευε Κυρίῳ τῷ σὲ δοξάσαντι, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Ἕτερον Ἀπολυτίκιον

Ἦχος πλ. α'. Τὸν συνάναρχον Λόγον.

Ἀποστόλων ταῖς τρίβοις ἀκολουθήσασαι, ὑμῶν τὸν βίον ἐν ἔργοις, φιλαδελφείας καλῶς, καὶ ἀγάπης ἀκραιφνοῦς ἐδαπανήσατε, σῶφρον Ξανθίππη θαυμαστή, καὶ ὁσίων παμφαὲς, ὡράϊσμα Πολυξένη· καὶ νῦν Χριστὸν δυσωπεῖτε, ὑπὲρ ἡμῶν σεμναὶ αὐτάδελφοι.

Κοντάκιον

Ἦχος πλ. δ'. Τῇ ὑπερμάχῳ.

Διαδραμοῦσαι πολιτείαν ὑπερθαύμαστον, ἐπὶ τῆς γῆς ὁσίων σύμμορφαι ἐδείχθητε γυναικῶν, Ξανθίππη θεία καὶ Πολυξένη· ὅθεν στέφανον δεξάμεναι ἀμάραντον ἐκ χειρῶν τοῦ Ἰησοῦ ἡμῶν ἀκούετε τῶν βοώντων νῦν· Χαίροις, ζεῦγος θειότατον.

Ἕτερον Κοντάκιον

Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Πολυτρόποις πράξεσιν ὁσίου βίου, Πολυξένη πάνσεμνε, Χριστῷ λατρεύσασα πιστῶς, τῆς ἄνω δόξης ἠξίωσαι, ὑπὲρ ἡμῶν ἐκτενῶς ἱκετεύουσα.

Μεγαλυνάριον

Βίον διελθοῦσα ἀσκητικόν, Μῆτερ Πολυξένη, σὺν ὁμαίμονι τῇ σεμνῇ, σὺν αὐτῇ μετέσχες, τῆς ἄνω κληρουχίας, μεθ' ἧς ἡμῖν ἐξαίτει, τὸ θεῖον ἔλεος.

Ἕτερον Μεγαλυνάριον

Χαίροις, αὐταδέλφων ἡ ξυνωρίς, γυναικῶν ὁσίων, ἀποστόλων μαθητριῶν, χαίροις Πολυξένη, καὶ πάνσεμνε Ξανθίππη, αἱ νουνεχῶς τὸν βίον, ἐκδαπανήσασαι.

Ὁ Οἶκος

Ἄϋλον πολιτείαν, ἐπεδείξατε, θεῖαι αὐτάδελφοι ἀσκήτριαι ὄντως· ἀρνησάμεναι γὰρ πᾶν φθαρτὸν τῆς ἀφθάρτου δόξης κοινωνοί, ὤφθητε· διὸ ὑμᾶς γεραίροντες φωνοῦμεν εὐθαρσῶς τοιαῦτα·

Χαίρετε, λαμπροὶ σοφίας φάροι·
χαίρετε, στερῥοὶ ἀνδρείας στῦλοι.
Χαῖρε, Πολυξένη, συνέσεως μέλαθρον·
χαῖρε, ὦ Ξανθίππη, φρονήσεως μάργαρον.
Χαῖρε, κῆρυξ θείας χάριτος, Πολυξένη θαυμαστή·
χαῖρε, σάλπιγξ θείας γνώσεως, ὦ Ξανθίππη ἀγλαή.
Χαῖρε, γλῶσσα ὑμνοῦσα, Πολυξένη, τὸν Κτίστην·
χαῖρε, στόμα, Ξανθίππη, τὸ αἰνοῦν τὸν Δεσπότην.
Χαῖρε, λειμών, Ξανθίππη, σεμνότητος·
χαῖρε, εἰκών, ὁσία, χρηστότητος.
Χαῖρε, λαμπάς, Πολυξένη, τιμία·
χαῖρε, δυὰς ὁμαιμόνων ἁγία.
Χαίροις, ζεῦγος θειότατον.

Κάθισμα

Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Ὡς ἄστρα φωτεινὰ, τῆς Χριστοῦ Ἐκκλησίας, ἀσκήσεως φωτὶ, καὶ κηρύγματος αἴγλη, πυρσεύσατε ἅπαντας, τοὺς πιστούς· ὅθεν σήμερον, ἑορταζοντες, ὑμῶν τὴν πάντιμον μνήμην ἀνακράζομεν· Ξανθίππη καὶ Πολυξένη, ἀσκήτριαι χαίρετε.

Ἕτερον Κάθισμα

Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ἐν Ἰσπανίᾳ ὑπὲρ βρότειον φύσιν, ἀγωνισάμεναι ὁσίων τοὺς δήμους, ηὐφράνατε καὶ τάγματα σεπτῶν γυναικῶν, Πολυξένη ἔνθεε καὶ Ξανθίππη ὀλβία, ὄντως ὡραΐσατε, καὶ πρὸς δώματα δόξης, τοὺς γηγενεῖς ἰθύνατε σοφῶς, αὐτοῖς τὰ θεῖα κηρύξασαι γράμματα.

Ἕτερον Κάθισμα

Ἦχος γ΄. Τὴν ὡραιότητα.

Ἰχνηλατήσασαι, κλειναὶ ἀσκήτριαι, τὰ κατορθώματα, καὶ τὰ παλαίσματα, τῶν ἀποστόλων ἀρετῆς ἐδείχθητε μυροθῆκαι, καὶ αὐτῶν ἐφάμιλλοι, ἐν τοῖς τρόποις γενόμενοι, Πολυξένη πάντιμε καὶ Ξανθίππη εἰλήφατε, στεφάνους οὐρανόθεν καὶ χάριν, θεῖαι ὑπὲρ ἡμῶν πρεσβεύειν.

Ἕτερον Κάθισμα

Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Ἀσκήσεως νάμασιν, ἀνακαθάρασαι νοῦν, δοχεῖα γεγόνατε, ὡραία καὶ διαυγῆ, τοῦ Πνεύματος πάνσεμναι· ὅθεν ὑμᾶς τιμῶντες, Πολυξένη θεόφρον, καὶ γεραρὰ Ξανθίππη, ἑορτάζομεν πόθῳ, ὑμῶν μελισταγέσιν ᾠδαῖς, μνήμην τὴν πάμφωτον.

Ἰδιόμελον ἐκ τῆς Λιτῆς

Ἦχος α΄.

Εὐφραίνου ἐν Κυρίῳ γυναικῶν θεοσεβῶν ἡ ὁμήγυρις, ἐπὶ τῇ μνήμῃ τῶν ἀσκητριῶν Ξανθίππης καὶ Πολυξένης· αὗται γὰρ ἐν ἀληθεῖ ὁσιότητι καὶ ἀρετῶν ταῖς πράξεσι, Χριστὸν ἐδόξασαν εὐαγγελικῶς πολιτευσάμεναι· καὶ νῦν ἐν ἀγκάλαις Ἀβραὰμ ἀναπαυόμεναι, πρεσβεύουσιν ἀπαύστως διδόναι ἡμῖν τὸ μέγα, καὶ πλούσιον ἔλεος.

Ἕτερον Ἰδιόμελον ἐκ τῆς Λιτῆς

Ἦχος β΄.

Ὑπεριπτάμεναι τῶν γηΐνων οὐρανίῳ φρονήματι, πρὸς ἀσκητικοὺς ἐχωρήσατε ἀγῶνας, Ξανθίππη καὶ Πολυξένη· νεκρώσασαι γὰρ τὴν σάρκα συντόνῳ ἀσκήσει, τὸν νοῦν ἐπτερώσατε γεγηθυῖαι πρὸς τὸν Κύριον, τῶν ἐφετῶν τὸ ἀκρότατον· Αὐτὸν οὖν καὶ ἡμᾶς ἀξιώσατε ἰδεῖν ἐν πόλῳ, τὸν δοξάζοντα τοὺς ἐπομένους Αὐτῷ, ἐν ἀγάπῃ καὶ δικαιοσύνῃ.

Ἕτερον Ἰδιόμελον ἐκ τῆς Λιτῆς

Ἦχος γ΄.

Τὰ κρείττονα ζηλοῦσαι χαρίσματα, τρυφὰς καὶ δέοντα πάντα, ὥσπερ σκύβαλα ἠρνήσασθε, ὁμαίμονες ὁσίαι Πολυξένη καὶ Ξανθίππη· ἀσκητικῆς ὅθεν τελειότητος, πρακτικοὶ ὑφηγήτριαι γενόμενοι, πολλοὺς εἱλκύσατε πρὸς μίμησιν, τῶν θεοφιλῶν ὑμῶν καμάτων· καὶ νῦν ἐν τῇ οὐρανίῳ παστάδι, σὺν τῷ Νυμφίῳ Χριστῷ εὐφραινόμεναι, ἱκετεύσατε σωθῆναι τοὺς πόθῳ, ὑμᾶς τιμῶντας ἐν ᾄσμασιν.

Ἕτερον Ἰδιόμελον ἐκ τῆς Λιτῆς

Ἦχος δ΄.

Ἐξέπληξαν βροτοὺς τὰ λαμπρὰ ὑμῶν κατορθώματα, ἀσκήτριαι Ξανθίππη καὶ Πολυξένη· ὡς ἄσαρκοι γὰρ προσεπαλαίσατε ἐχθροῖς τοῖς ἀοράτοις, καὶ Κυρίῳ εὐηρεστήσατε· ἀναδραμοῦσαι οὖν πρὸς πόλον, χάριν εὕρατε πρεσβεύειν τῷ Κτίσαντι, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Αγιογραφίες / Φωτογραφίες

Οσίες Ξανθίππη και Πολυξένη

Οσίες Ξανθίππη και Πολυξένη

Οσία Ξανθίππη

Οσία Ξανθίππη

Οσία Πολυξένη

Οσία Πολυξένη

Οσία Πολυξένη - Ησυχαστήριο «Παναγία των Βρυούλων»

Οσία Πολυξένη

Σχετικές συνδέσεις

1. Άγιοι Πέτρος και Παύλος Πρωτοκορυφαίοι Απόστολοι
2. Άγιος Φίλιππος ο Απόστολος
3. Άγιος Ανδρέας ο Απόστολος, ο Πρωτόκλητος
4. Άγιος Ονήσιμος ο Απόστολος

Παραπομπές

1. ΠΗΓΗ ΖΩΗΣ - ΟΡΘΟΔΟΞΗ ΠΑΡΟΥΣΙΑ ΣΤΟ INTERNET
2. www.synaxarion.gr
3. Αγίου Νικοδήμου Αγιορείτου Συναξαριστής των δώδεκα μηνών του ενιαυτού
4. ΕΛΛΗΝΙΚΑ ΛΕΙΤΟΥΡΓΙΚΑ ΚΕΙΜΕΝΑ ΤΗΣ ΟΡΘΟΔΟΞΗΣ ΕΚΚΛΗΣΙΑΣ
5. VOUTSINASILIAS
6. Διακόνημα